# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: jtw-aa

*Ἡγήσιππος ὁ κωμικός* · Hegesippos the Comic Poet

## Art of Cooking

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_συρ]βέλτιστε, πολλοῖς

book 1.2 πολλὰ περὶ μαγειρικῆς εἰρημέν’ ἐστίν. ΣΥΡ. ἢ λέγων

book 1.3 φαίνου

book 1.4 τι δὴ καινὸν

book 1.5 παρὰ τοὺς ἔμπροσθεν ἢ μὴ κόπτε με. Α. οὐκ ἀλλὰ τὸ πέρας τῆς μαγειρικῆς, Σύρε, εὑρηκέναι πάντων νόμιζε μόνον ἐμέ. οὐ γὰρ

book 1.6 παρέργως ἔμαθον ἐν ἔτεσιν δυσὶν ἔχων

book 1.7 περίζωμ’, ἀλλ’ ἅπαντα τὸν βίον ζητῶν κατὰ μέρη τὴν τέχνην ἐξήτακα, εἴδη λαχάνων ὅς’ ἐστί, βεμβράδων

book 1.8 τρόπους,φακῆς γένη

book 1.9 παντοδαπά. τὸ πέρας

book 1.10 σοι λέγω· ὅταν ἐν

book 1.11 περιδείπνῳ τυγχάνω διακονῶν, ἐπὰν τάχιστ’ ἔλθωσιν ἀπὸ τῆς ἐκφορᾶς, τὰ βάπτ’ ἔχοντες, τοὐπίθημα τῆς χύτρας ἀφελὼν ἐποίησα

book 1.12 τοὺς δακρύοντας γελᾶν.

book 1.1 [spk_συρ]τοιοῦτος ἔνδοθέν

book 1.2 τις ἐν τῷ σώματι διέδραμε γαργαλισμὸς ὡς ὄντων γάμων. ΣΥΡ. φακῆν

book 1.3 παρατιθείς, εἰπέ μοι, καὶ βεμβράδας; Α. τὰ πάρεργά μου

book 1.4 ταῦτ’ ἔστιν· ἂν δὲ δὴ λάβω τὰ δέοντα, καὶ τοὐπτάνιον ἁρμόσωμ’ ἅπαξ,ὅπερ ἐπὶ τῶν ἔμπροσθε

book 1.5 Σειρήνων, Σύρε, ἐγένετο, καὶ νῦν

book 1.6 ταὐτὸ τοῦτ’ ὄψει πάλιν· ὑπὸ τῆς γὰρ ὀσμῆς οὐδὲ εἷς δυνήσεται ἁπλῶς διελθεῖν τὸν

book 1.7 στενωπὸν

book 1.8 τουτονί· ὁ δὲ παριὼν πᾶς εὐθέως

book 1.9 πρὸς τὴν θύρανἑστήξετ’ ἀχανής, προσπεπατταλευμένος,

book 1.1

ἄφωνος, ἄχρι ἂν τῶν φίλων βεβυσμένος τὴν ῥῖν’ ἕτερός

book 1.2 τις

book 1.3 προσδραμὼν ἀποσπάσῃ. ΣΥΡ. μέγας εἶ τεχνίτης. Α. ἀγνοεῖς

book 1.4 πρὸς ὃν λαλεῖς· πολλοὺς ἐγὼ σφόδρ’ οἶδα τῶν καθημένων,[ln_30]οἳ καταβεβρώκας’ ἕνεκ’ ἐμοῦ τὰς οὐσίας.

book 2.1 Ἐπίκουρος ὁ σοφὸς ἀξιώσαντός

book 2.2 τινος εἰπεῖν

book 2.3 πρὸς αὐτὸν ὅ τι

book 2.4 ποτ’ ἐστὶ τἀγαθόν, ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν. εὖ γ’, ὦ κράτιστ’ ἄνθρωπε καὶ σοφώτατε·[ln_5]τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ’ οὐδὲ ἓν ἀγαθόν· πρόσεστιν ἡδονῇ γὰρ τἀγαθόν.

book 3.1 Σατύας

book 3.2 Σατύαντος

Eulogikon public reading copy · View original HTML at eulogikon.org